12 –⏑–––⏑––]δ̣ων τυχόντες
–⏑⏑–⏑⏑–––⏑⏑–]ς̣ σ̣ὺν θεοῖς†
7 –⏑–––⏑–––⏑–]δ̣ους

(deest epod. α′)

*Β′* ––⏑⏑–⏑⏑–]
23 ––⏑⏑– μεσονύ]κ̣τιος κέαρ

(desunt vv. XII)

*ΕΠ. Β′* 36 ––⏑–––⏑⏑–⏑⏑–]
col 2 (31) ἆγον, πατὴρ δ᾽ εὔβουλος ἥρως
πάντα σάμαινεν Πριάμωι βασιλεῖ
4 παίδεσσί τε μῦθον Ἀχαιῶν.
ἔνθα κάρυκες δι᾽ εὐ-
ρεῖαν πόλιν ὀρνύμενοι
Τρώων ἀόλλιζον φάλαγγας
*Γ′* δεξίστρατον εἰς ἀγοράν.
πάνται δὲ διέδ᾽ραμεν αὐδάεις λόγος·
3 θεοῖσ⟨ιν⟩ δ᾽ ἀνίσχοντες χέρας ἀθανάτοις
εὔχοντο παύσασθαι δυᾶν.
Μοῦσα, τίς πρῶτος λόγων ἆρχεν δικαίων;
Πλεισθενίδας Μενέλαος γάρυϊ θελξιεπεῖ
7 φθέγξατ᾽, εὐπέπ᾽λοισι κοινώσας Χάρισσ̣ιν·
„ὦ Τρῶες ἀρηΐφιλοι,
Ζεὺς ὑψ˛ιμέδων ὃ˛ς ἅπαντα δέρκεται
52 3 οὐκ αἴτιος θνατοῖς μεγάλων ἀχέων,